# ΠΡΟΣΕΥΧΗ ΑΖΑΡΙΟΥ ΚΑΙ ΥΜΝΟΣ ΤΩΝ ΤΡΙΩΝ

1 ΚΑΙ συστὰς Ἀζαρίας προσύξατο οὕτως
καὶ ἀνοίξας τὸ στόμα αὑτοῦ ἐν μέσῳ τοῦ
πυρὸς εἶπεν·

2 Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων
ἡμῶν, καὶ αἰνετός, καὶ δεδοξασμένον τὸ
ὄνομά σου εἰς τοὺς αἰῶνας,
3 ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας
ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ
εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου
ἀλήθεια,
4 καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ
πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν
ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ,
ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα
πάντα, διὰ τὰς ἁμαρτίας ἡμῶν.
5 ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι
ἀπὸ σοῦ
6 καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν
ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ
συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς
ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.
7 καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν καὶ πάντα
ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει
ἐποίησας

8 καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν
ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ
ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.
9 καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα·
αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις
σου καὶ τοῖς σεβομένοις σε.
10 μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ
ὄνομά σου καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην
σου
11 καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν
διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ
Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν
σου,
12 οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν
ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον
τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.
13 ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα
τὰ ἔθνη καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ
σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν,
14 καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων
καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ
ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ
οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι
ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος·
15 ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ
πνεύματι ταπεινώσεως προσδεχθείημεν
16 ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων
καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως
γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον
καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται
αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ.
17 καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ

καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου,
18 μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου
19 καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ
20 καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·
21 καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος Θεὸς μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.
22 Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυππίον καὶ κληματίδα.
23 καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα.
24 καὶ διώδευσε καὶ ἐνεπύρισεν οὕς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.
25 ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου
26 καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς.
27 Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ ηὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ λέγοντες·

28 Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων
ἡμῶν, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς
τοὺς αἰῶνας,
29 καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου
τὸ ἅγιον καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον
εἰς πάντας τοὺς αἰῶνας.
30 εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας
δόξης σου καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος
εἰς τοὺς αἰῶνας.
31 εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους,
καθήμενος ἐπὶ Χερουβὶμ καὶ αἰνετὸς καὶ
ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
32 εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας
σου καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς
τοὺς αἰῶνας.
33 εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ
οὐρανοῦ καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς
τοὺς αἰῶνας.
34 εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
35 εὐλογεῖτε, οὐρανοὶ τὸν Κύριον· ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
36 εὐλογεῖτε, ἄγγελοι Κυρίου τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
37 εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τοῦ
οὐρανοῦ τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.
38 εὐλογεῖτε, πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς

τοὺς αἰῶνας.
39 εὐλογεῖτε, ἥλιος καὶ σελήνη τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
40 εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
41 εὐλογείτω πᾶς ὄμβρος καὶ δρόσος τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
42 εὐλογεῖτε, πάντα τὰ πνεύματα τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
43 εὐλογεῖτε, πῦρ καὶ καῦμα τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. [44 εὐλογεῖτε, ψῦχος καὶ καύσων τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
45 εὐλογεῖτε, δρόσοι καὶ νιφετοὶ τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας].
46 εὐλογεῖτε, νύκτες καὶ ἡμέραι τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
47 εὐλογεῖτε, φῶς καὶ σκότος τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
48 εὐλογεῖτε, ψῦχος καὶ καῦμα, τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
49 εὐλογεῖτε, πάχναι καὶ χιόνες, τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς

αἰῶνας.
50 εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
51 εὐλογείτω ἡ γῆ τὸν Κύριον· ὑμνείτω καὶ
ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.
52 εὐλογεῖτε, ὄρη καὶ βουνοὶ τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
53 εὐλογεῖτε, πάντα τά φυόμενα ἐν τῇ γῇ,
τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας.
54 εὐλογεῖτε, θάλασσα καὶ ποταμοί, τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
55 εὐλογεῖτε, αἱ πηγαί, τὸν Κύριον· ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
56 εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα
ἐν τοῖς ὕδασι, τὸν Κύριον· ὑμνεῖτε καὶ
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
57 εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ
οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
58 εὐλογεῖτε, πάντα τά θηρία καὶ τὰ κτήνη,
τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας.
59 εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας.
60 εὐλογεῖτε, Ἰσραήλ, τὸν Κύριον· ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
61 εὐλογεῖτε, ἱερεῖς Κυρίου, τὸν Κύριον·

ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
62 εὐλογεῖτε, δοῦλοι Κυρίου, τὸν Κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας.
63 εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων,
τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας.
64 εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ,
τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας.
65 εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν
Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας, ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου καὶ
ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς, ἐρρύσατο
ἡμᾶς ἐκ μέσου καμίνου καιομένης φλογὸς
καὶ ἐκ μέσου πυρὸς ἐρρύσατο ἡμᾶς.
66 ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
67 εὐλογεῖτε, πάντες οἱ σεβόμενοι τὸν
Κύριον τὸν Θεὸν τῶν θεῶν, ὑμνεῖτε καὶ
ἐξομολογεῖσθε, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a